ἄγραυλοι γενεῆθεν ὀροιτύποι· οἱ δ' ἐπὶ τύμβῳ
  μαντυταὶ τέχνας δουροτόμοι πελέκεις.

## VI

ὤλεο δὴ πρὸ γάμοιο, Φιλαίνιον, οὐδέ σε μάτηρ
  Πυθιὰς ὡραίους ἄγαγεν εἰς θαλάμους
νυμφίου, ἀλλ' ἐλεεινὰ καταδρύψασα παρειάς
  τεσσαρακαιδεκέτιν τῷδ' ἐκάλυψε τάφῳ.

## VII

δειλαία Μνάσυλλα, τί τοι καὶ ἐπ' ἠρίῳ οὗτος
  μυρομένᾳ κούραν γραπτὸς ἔπεστι τύπος
Νευτίμας; ἇς δή ποκ' ἀπὸ ψυχὰν ἐρύσαντο
  ὠδῖνες, κεῖται δ' οἷα κατὰ βλεφάρων
ἀχλύι πλημύρουσα φίλας ὑπὸ ματρὸς ἀγοστῷ.
  αἰαῖ Ἀριστοτέλης δ' οὐκ ἀπάνευθε πατήρ
δεξιτερᾷ κεφαλὰν ἐπεμάσσατο· ὦ μέγα δειλοί,
  οὐδὲ θανόντες ἑῶν ἐξελάθεσθ' ἀχέων.

## VIII

κἀμὲ τὸν ἐν σμικροῖς ὀλίγον θεὸν ἢν ἐπιβώσῃ
  εὐκαίρως τεύξῃ, μὴ μεγάλων δὲ γλίχου·
ὡς ὅ τι δημοτέρων δύναται θεὸς ἀνδρὶ πενέστῃ
  δωρεῖσθαι, τούτων κύριός εἰμι Τύχων.